# AESOPI FABVLAE (V)

## 58-ΓΥΝΗ ΚΑΙ ΟΡΝΙΣ

γυνὴ χήρα ὄρνιν ἔχουσα καθ' ἑκάστην ἡμέραν ᾠὸν τίκτουσαν ὑπέλαβεν ὅτι, ἐὰν[1] πλείονα αὐτῇ τροφὴν παραβάλῃ, καὶ δὶς τῆς ἡμέρας[2] τέξεται. καὶ δὴ τοῦτο αὐτῆς ποιούσης[3] συνέβη τὴν ὄρνιν πίονα γενομένην μηκέτι μηδὲ[4] ἅπαξ τεκεῖν.

ὁ λόγος δηλοῖ, ὅτι πολλοὶ τῶν ἀνθρώπων διὰ πλεονεξίαν περιττοτέρων[5] ἐπιθυμοῦντες καὶ[6] τὰ παρόντα ἀπόλλουσιν.

---

[1] **ἐὰν.** Subordinador condicional con partícula modal (εἰ+ἄν) y verbo en subjuntivo
[2] **τῆς ἡμέρας.** Genitivo con valor circunstancial: *al día*, *cada día*
[3] **τοῦτο αὐτῆς ποιούσης.** Genitivo absoluto
[4] **μηδὲ.** Tradúzcase como *ni siquiera*
[5] **περιττοτέρων.** Este genitivo no va con τῶν ἀνθρώπων , sino que es neutro y es el régimen de ἐπιθυμοῦντες
[6] **καὶ.** *También*